## ΒΗΣΣΑΡΙΩΝΟΣ
## ΚΑΡΔΗΝΑΛΕΩΣ ΚΑΙ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ
## ΕΛΕΓΧΩΝ ΤΩΝ ΚΑΤΑ ΠΛΑΤΩΝΟΣ ΒΛΑΣΦΗΜΙΩΝ
## ΔΕΥΤΕΡΟΣ.

U39ᵛ B24 V31ᵛ

### Κεφ. α′ Ὅτι τὰ Πλάτωνος μᾶλλον ἢ τὰ Ἀριστοτέλους τῇ τῶν Χριστιανῶν συμφωνοῦσι θρησκείᾳ.

**1** Ὡς μὲν οὖν, εἰ καὶ μὴ παρέδωκεν ἐπιστημῶν τε καὶ τεχνῶν μέθοδον Πλάτων, οὐδὲν ὅμως διὰ τοῦτο χείρων ἂν νομίζοιτο καὶ ὁτουοῦν τῶν σοφῶν, κατ᾽ αὐτάς γε ἄριστά τε καὶ σοφώτατα συγγεγραφώς, εἴρηται. U40 ἐπεὶ δ᾽ ἐν τῷ δευτέρῳ τῶν αὐτοῦ συγγραμμάτων ὁ κατήγορος προϋποθέμενος ἐκεῖνον δεῖν νομίζεσθαι σοφώτερον, ὃς τῇ ἀληθείᾳ συμβαίνει τῆς πίστεως καὶ τῇ τῆς ἐκκλησίας συμφωνεῖ διδασκαλίᾳ, εἶτα τὸν μὲν Ἀριστοτέλην συνῳδόν, τὸν δὲ Πλάτωνα ἀπῳδὸν τῇ ἐκκλησίᾳ πειρᾶται δεικνύναι, ἡμεῖς καὶ τούτου πᾶν τοὐναντίον σαφῶς παραστήσομεν καὶ τὸν Πλάτωνα μᾶλλον Ἀριστοτέλους, εἴπερ γε κἀκεῖνον, τῇ καθολικῇ πίστει συνῳδὸν ἀποφανοῦμεν. φαμὲν δὲ ταῦτα οὐ Πλάτωνα μᾶλλον Ἀριστοτέλους τῇ ἐκκλησίᾳ εἰσποιοῦντες οὐδὲ διὰ τοῦτο Ἀριστοτέλην χείρω νομί- V32 ζοντες· ἀλλότριος γὰρ ἑκάτερος καὶ πόρρω τῆς ἡμετέρας αὐλῆς καὶ ὡς τῷ γένει, οὕτω καὶ τῇ θρησκείᾳ Ἕλληνες ἄμφω· καὶ μάτην γε τούτῳ τῷ μέρει ὁ κατήγορος Ἀριστοτέλην ἐξαίρει δι᾽ ἀπορίαν ἀληθῶν ἐπαίνων, εἰς τὰ ἱερὰ καὶ τὴν πίστιν καταφεύγων ὡς οἱ ἐν μεγάλαις ἀνάγκαις εἰς B24ᵛ τὸ ἄσυλον ὡς εἰς κρησφύγετον καταδυόμενοι. οὐ Χριστιανὸν οὖν ἡμεῖς Πλάτωνα ὡς ἐκεῖνος Ἀριστοτέλην ἀποδεῖξαι μάτην φιλονεικήσομεν, ἀλλ᾽ ὡς εἴ τις καὶ ἐξ αὐτῶν τῶν τῆς ἐκκλησίας ἐχθρῶν βοήθημά τι καὶ συνηγορίαν τῇ πίστεως ἀληθείᾳ ζητοίη, ἐκ τῶν τοῦ Πλάτωνος μᾶλλον λόγων ἢ τῶν Ἀριστοτέλους τοῦτ᾽ ἂν καὶ ὁπωσοῦν πορίσαιτο.

### Κεφ. β′ Ἀπαντᾷ πρὸς τὰ ῥηθέντα τῷ κατηγόρῳ, ὅτι τοῖς περὶ ἑκάστας τῶν ἐπιστημῶν διατρίβουσι μᾶλλον πιστεύειν δεῖ ἢ τοῖς ἱεροῖς διδασκάλοις.

**2** Εἰδὼς δὲ ὁ χρηστὸς οὗτος τοὺς διδασκάλους τῆς ἐκκλησίας, ἄνδρας U40ᵛ ὡς ἁγιότητι οὕτω καὶ σοφίᾳ τῇ καθ᾽ ἡμᾶς τε καὶ ἔξωθεν διαπρέποντας, ἐκ τῶν Πλάτωνος λόγων μᾶλλον ἢ τῶν Ἀριστοτέλους βοηθουμένους κἀκείνῳ μὲν πάντοτε συνηγόρῳ καὶ μάρτυρι, Ἀριστοτέλει δὲ οὐδέποτε χρωμένους, πρῶτον χωρεῖ κατ᾽ αὐτῶν καὶ τὴν περὶ τῆς σοφίας αὐτῶν κρατοῦσαν ἐν

Ε.Υ.Δ. της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# BESSARIONIS
# CARDINALIS NICENI ET PATRIARCHAE CONSTANTINOPOLITANI IN CALUMNIATOREM PLATONIS LIBER SECUNDUS.

## Cap. I. Quod Christianae religioni magis Platonis libri conveniunt quam Aristotelis.

Platonem quamvis praecepta artium litteris non tradiderit, nemine 1
tamen propterea docto et sapiente viro inferiorem existimandum, librosque ab eo complures egregie scriptos et ad posteritatis utilitatem relictos satis superiori libro demonstravimus. Nunc quoniam adversarius secundo volumine eum asserit, qui ad veritatem Christianae religionis et sanctae ecclesiae doctrinam propius accesserit, longe ceteris sapientiorem esse iudicandum, tum Platonem multo Aristotele inferiorem facit, quod ille a doctorum nostrorum sententia alienissimus esse, hic vero maxime cum his consentire videatur, nos huius quoque rei contrarium plane, nisi nos animus fallit, ostendemus et doctrinam Platonis magis quam Aristotelis nostrae religioni consentaneum esse demonstrabimus. Quod non ideo faciemus, quia Platonem aut existimemus aut velimus ostendere Christianum fuisse; alienus enim uterque a nostra fide tam Plato quam Aristoteles fuit et ut nomine sic religione gentilis uterque. Propter quod frustra Aristotelem hoc loco laudat adversarius et inops consilii, quo vera dicere videatur, ad religionem refugit, ut solent rei capitis quaerendae salutis gratia ad asylum se aramque recipere. Itaque non est consilium laborare, ut Platonem Christianum fuisse ostendamus, quem ad modum de Aristotele facit adversarius, sed ita hunc locum conabimur tractare, ut si quis ex auctoritate quoque gentilium philosophorum veritatem nostrae religionis corroborare voluerit, Platonis potius libris quam Aristotelis id effici posse demonstremus.

## Cap. II. Fidem nostris doctoribus et aestimationem ab his tolli, qui Platoni detrahunt, quem ex omnibus gentilibus Christiani testem citant.

Cum autem cerneret adversarius doctores ecclesiae, viros ut vitae 2
sanctimonia, ita tam nostra quam gentilium doctrina insignes, Platonis magis quam Aristotelis opiniones cum suis conciliare et illius quidem testimonio

1 U[x] *in marg.* Τέλος τοῦ α' λόγου καὶ ἀρχὴ τοῦ β'. Λόγος δεύτερος. U *manus recentior in marg.* 'Ελέγχων τῶν κατὰ Πλάτωνος βλασφημιῶν, δεύτερος.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἡμῖν δόξαν πειρᾶται τῶν ψυχῶν ἀπαλεῖψαι καὶ ὡς ἑαυτῷ μᾶλλον κριτῇ περὶ τά γε τοιαῦτα ἢ ἐκείνοις εἴη χρηστέον τό γ' εἰς αὐτὸν ἧκον πείθει. τίς τίνων προτιθεὶς ἑαυτόν; ἀλλὰ τὸ τοῦ κωμικοῦ οὐ πείσει, οὐδ' ἢν πείσῃ· φησὶ γὰρ ὡς »ἃ μὲν θείῳ κινούμενοι πνεύματι συνεγράψαντο, ταῦτα δ' ἐστὶν ὅσα τῆς πίστεως καὶ τῆς τῶν πιστευόντων εἰσὶ σωτηρίας, ταῦτα μὲν αὐτοῖς πειστέον, ἐπὶ δὲ τοῖς ἄλλοις καὶ περὶ ἄλλων τινῶν ῥηθεῖσιν οὐκ ἀεὶ πιστέον αὐτοῖς· γεωμέτρῃ γὰρ μᾶλλον καὶ ἀστρονόμῳ ἢ ὁποίῳ δήποτε ἁγίῳ καὶ διδασκάλῳ περὶ τὰ γεωμετρικά τε καὶ ἀστρονομικὰ πιστευτέον.« ἀλλὰ περὶ τὰ περὶ πίστιν αὐτοῖς πιστευτέον, ὦ λῷστε, ἅτε ὑπὸ τοῦ θείου πνεύματος ὑπηγορευμένα αὐτοῖς, τοῖς δὲ Πλάτωνος οἱ διδάσκαλοι πρὸς τὴν τῆς πίστεως
V 32ʳ χρῶνται ἀπόδειξιν, κἂν τούτοις πιστευτέον αὐτοῖς σοφώτερόν τε καὶ τῇ ἐκκλησίᾳ συνῳδότερον Πλάτωνα τιθεμένοις Ἀριστοτέλους. ἔπειτα εἰ μὲν οἱ περὶ τούτων διδάσκαλοι αὐτὸ τοῦτο μόνον ἅγιοι εὐηρεστηκότες ἦσαν θεῷ,
U 41 λόγων δὲ ἄκροις χείλεσιν ὃ λέγεται μόνον γεγευμένοι, ὅσον δύνασθαι τὰ νοήματα ἑαυτῶν γράμμασιν ἁπλούστερον ἐξαγγέλλειν, συνεχώρησα ἄν σοι, ὥσπερ γεωμέτρῃ μᾶλλον περὶ τὰ γεωμετρικὰ ἢ τοιούτῳ ἁγίῳ πειστέον ἐστίν, οὕτω καὶ τοῖς φιλοσόφων ἐπαΐουσι λόγων καὶ διὰ πάσης ἥκουσι παιδείας πρὸ τῶν πάντῃ ἀμυήτων, κἂν ἅγιοι ὦσιν, εἶναι πειστέον. εἰ δὲ σὺν τῇ ἁγιότητι καὶ σοφίας εἰς ἄκρον ἤλασαν καὶ Πλάτωνος καὶ Ἀριστοτέλους
B 25 τῶν συγγραμμάτων διήκουσαν καὶ τὰ ἑκατέρων δόγματα ἀκριβέστατα ᾔδεισαν, οἷος Βασίλειος, Γρηγόριος ὁ θεολόγος, Κύριλλος, ὁ Νύσσης Γρηγόριος παρὰ Γραϊκοῖς, παρὰ δὲ Ῥωμαίοις Αὐγουστῖνος καὶ Βοήθιος καὶ ἄλλοι πολλοὶ ἐγεγόνεισαν ἄνδρες σοφώτατοι καὶ σοφίας εἰς τοὔσχατον φθάσαντες, καὶ περὶ τῆς πίστεως αὐτοῖς ὄντος τοῦ λόγου βοήθειαν αὐτῇ κἀκ τῆς ἔξω σοφίας ζητοῦσι, πῶς φῂς ἐκείνους καταλιπόντας σοὶ κριτῇ δεῖν ἕπεσθαι; ἀλλ' ἡμεῖς σοὶ χαίρειν εἰπόντες, τοῖς διδασκάλοις ἑπόμενοι ἁγιωτάτοις τε ἅμα γενομένοις καὶ σοφωτάτοις ἀποδείξομεν τὸ προκείμενον.

## Κεφ. γ' Ὅτι οὐ δεῖ Πλάτωνος ὑπεραπολογούμενον Ἀριστοτέλους καταφέρεσθαι, ἀλλ' ἑκατέρῳ τὰ γιγνόμενα σώζειν δίκαιον.

**3, 1** Ἐντεῦθεν προσάντη μοι ὁρῶ καὶ ἀντίξουν ὄντα τὸν λόγον καί με προάγοντα εἰπεῖν ἃ οὐκ ἂν ἐβουλόμην. ἀναγκάζει γὰρ ἡ τοῦ κατηγόρου περὶ Πλάτωνα ἀγνωμοσύνη καὶ ἐμὲ ἀγνώμονα περὶ Ἀριστοτέλη φανῆναι, ὅπερ ἥκιστα ἂν βουλοίμην. λέγων γὰρ καί, ὡς οἴεται, ἀποδεικνὺς βέλτιον
U 41ᵛ Ἀριστοτέλην ἢ Πλάτωνα περὶ τῆς θείας διδάξαι φύσεως, κἀκεῖνον μὲν τριάδα ἐν τῇ θείᾳ φύσει δοξάσαι, Πλάτωνα δὲ μηδαμῶς, καὶ Ἀριστοτέλην μὲν ἐκ τοῦ μηδαμῇ μηδαμῶς ὄντος τὰ ὄντα θεοῦ μόνον παραχθῆναι βουλήσει, ἐκεῖνον δὲ ἐκ τῆς πρώτης ὕλης, κἀκεῖνον μὲν ἄριστα περὶ ψυχῆς

11/12 σοφώτερον — συνῳδότερον Uˣ *add. in marg.* B V *in textu* | 16 ὥσπερ V] Uˣ *add.* B² *corr. ex* ὡς | 17/18 οὕτω — πειστέον Uˣ *in marg.* B V M *in textu* | 22 Βοέτιος *codd.* | 23 σοφίας B V M φιλοσοφίας U | 24/25 καὶ περὶ — ζητοῦσι Uˣ *in marg.* B V M *in textu* | 26 ἀλλ' ἡμεῖς σοὶ χαίρειν εἰπόντες B V M, *quo loco* U τυφλῷ τυφλοῖς ἡγουμένῳ; *cui* Uˣ *add.* καὶ ταῦτα τυφλῷ τοῖς βλέπουσιν ἡγουμένῳ; ἀλλ' οἱ μὴ βουλόμενοι ἂν

Ε.Υ. Δ. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

omnibus fere in locis uti, Aristotelis vix unquam facere mentionem, primum eos refellere conatus est et existimationem, quam omnes de divina illorum sapientia conceperunt, animis abolere. Itaque suo potius quam illorum iudicio standum suadet. »Nam quae doctores nostri, inquit, afflati divino spiritu scripserunt, si ad fidem dumtaxat et mortalium salutem pertinent, teneri credique ab omnibus fas est, reliqua vero non ita recipienda sunt, ut a sanctissimis viris tradita fuere.« Atqui si in iis, quae ad fidem et veram religionem pertinent, credendum esse existimas, o bone vir, Platonis autem verbis sanctissimi viri utuntur ad fidei et verae religionis confirmationem, cur aequum non censes praeberi iis fidem, dum in his Platonem longe Aristoteli praeferendum existimant? Quodsi doctores nostri sancti quidem tantummodo et deo dediti fuissent, optimarum vero artium studia vix summis, ut aiunt, labris degustassent, concederem tibi profecto geometrae potius in rebus ad geometriam pertinentibus quam sanctae simplicitati esse credendum et studiosis philosophiae ac bonarum artium peritissimis viris plus fidei adhibendum quam iis, qui rudes fuissent atque ignari, tametsi vitae sanctitate insignes haberentur. At si qui cum sanctitate ad summum etiam doctrinae et sapientiae pervenerunt legeruntque Platonis atque Aristotelis libros et utriusque philosophi opiniones diligentissime sunt perscrutati, quales fuerunt apud Graecos: Basilius, Gregorius, Cyrillus, Gregorius alter, apud Latinos vero: Augustinus, Boëthius et alii complures sapientissimi viri et philosophiae studiis illustres, et tamen, cum de vera religione disseruerunt, gentilium philosophorum auctoritatibus libenter innixi sunt, quo pacto existimas homines te unum spretis illis auctoribus sequi oportere? Sed nos et quicumque mentis compotes sunt, te dimisso doctores nostros sanctissimos ac sapientissimos viros sequemur eorumque sententia rem a nobis propositam ostendemus.

Cap. III. Auctoris excusatio, quod Aristotelem impugnare nolit.

Verum id mihi molestum hoc loco accidit, quod ea cogor scribere, **3, 1**
quae minime vellem. Facit enim adversarii iniquitas adversus Platonem, ut qui non minus Aristotelem quam ipsum soleo laudare, fungi officio meo minus videar. Nam cum adversarius dicat et suo dumtaxat iudicio demonstret melius Aristotelem quam Platonem de divina natura scripsisse, quippe posuisse Aristotelem in divinis trinitatem, Platonem minime, illum sensisse caelum et mundum sola dei voluntate ex nihilo esse productum, hunc materiam primam mundi principium posuisse, ad haec Aristotelem optime

εἰς βόθυνον ἐμπεσεῖν, οὐκ ἄν σοι ἕποιντο. ἔφης δ' ἂν εὖ οἶδ' ὅτι, εἰ μὴ ᾐσχύνου ἢ εἰ μὴ δικαίας πληγὰς ἐδεδίεις, ὡς πολλῷ σὺ βελτίων καὶ σοφώτερος ἡμῖν αὐτόματός τε καὶ αὐθήμερος ἀνεφάνης. ἀλλὰ πλατὺν ὀφλήσεις παρὰ τοῖς ἀκούουσι γέλωτα, ὅθεν σὲ κράζοντα καταλιπόντες, τοῖς διδασκάλοις *etc. usque* προκείμενον.

4 cf. Georg. Trap. Comparat. II. 2.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

διαλαβεῖν, Πλάτωνα δὲ πλασματώδη εἰπεῖν, καὶ Πλάτωνα μὲν εἱμαρμένῃ καὶ ἀνάγκῃ πάντα ὑποθέσθαι, Ἀριστοτέλην δὲ τὰ πάντα διοικεῖσθαι προνοίᾳ δοξάσαντα, ἀναγκάσειεν ἂν καὶ ἡμᾶς τοὐναντίον δεικνύντας, Πλάτωνι V 33 μὲν τῶν δοξῶν τὰς βελτίους, Ἀριστοτέλει δὲ εἰσποιῆσαι τὰς χείρους, καὶ οὕτω δοκεῖν Ἀριστοτέλους καταψηφίζεσθαι καὶ ἀγνώμονας εἶναι δοκεῖν, ὃ πόρρω που τῆς ἡμῶν ἐστι διανοίας. εὔφημα γὰρ ἡμῖν γε ἐστί τε καὶ ἔσται ἐς πάντα τὸν ἔπειτα χρόνον καὶ τά γε εἰς τοῦτον τὸν ἄνδρα, καὶ μὴ ἄν ποτε εἰς τοσαύτην δοξοσοφίαν ἐλάσαιμεν, ὡς κακῶς ἐκεῖνον εἰπεῖν θατέρῳ συνηγοροῦντας. ἄμφω δὲ σοφωτάτω ἡγούμενοι ἀμφοῖν χάριτας ὧν ἡμῖν παρέδοσαν ὁμολογοῦμεν, αὐτῷ ἐκείνῳ Ἀριστοτέλει πειθόμενοι ἐν τῷ ἐλάττονι τῶν Μετὰ τὰ φυσικὰ οὑτωσί πως λέγοντι· »οὐ μόνον δὲ χάριν δίκαιον ἔχειν τούτοις ὧν ἄν τις κοινώσαιτο ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἔτι ἐπι- B 25ᵛ πολαιότερον ἀποφηναμένοις. καὶ γὰρ οὗτοι συμβάλλονταί τι· τὴν γὰρ ἕξιν προήσκησαν ἡμῶν· εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελο- U 42 ποιΐαν οὐκ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον καὶ περὶ τῶν τῆς ἀληθείας ἀποφηναμένων. ‹παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας. οἱ δὲ τοῦ γενέσθαι τούτοις αἴτιοι γεγόνασι.«

2 Διὰ ταῦτ' οὖν καὶ αὐτὸς οὐ τὼ φιλοσόφω παραβαλὼν ἀλλήλοιν τὸν μὲν εὐφημίαις ἐξαιρῶ, τὸν δὲ πλυνὸν ποιήσω, ὡς οὗτος πεποίηκεν — αἰδοίω γάρ μοι καὶ ἄμφω καὶ πάσης ἀξίω τιμῆς — ἀλλ' οἵα μὲν καὶ ἥτις ἡ περὶ τῶν προειρημένων Ἀριστοτέλους δόξα καὶ εἴ τι περὶ αὐτῶν καὶ εἰ ᾗ φησιν ὁ κατήγορος εἴρηκε, τοῖς περὶ ἐκεῖνα δεινοῖς ἐξετάσαι τε καὶ σκοπεῖν καταλείψω, οὐδενὸς ὄντος τοῦ ἀγνοοῦντος, ἅτε δὴ τῶν νῦν παρὰ Λατίνοις σοφῶν σχεδόν τι πάντων Περιπατητικῶν ὄντων καὶ περὶ πλείστου ποιουμένων τ' Ἀριστοτέλους καὶ ἀκριβῶς πάντα εἰδότων. οὐκ ἐρῶ τοίνυν, ὡς χεῖρον ἢ βέλτιον περὶ αὐτῶν Ἀριστοτέλης ἢ εἶπεν ἢ ἐδόξασε, τά γε πᾶσιν ἐγνωσμένα εἰκῇ σαφηνίζων, πλὴν εἴ που ἀρνηθείην αὐτὸν Χριστιανὸν γεγονέναι, καὶ εἴ πῃ σαφηνίας ἕνεκα μικρὰ τούτων μνησθείην καὶ μὴ τοῦτον ἔχειν τὸν νοῦν τόδε τι τοῦ Ἀριστοτέλους, ὃν ὁ ἀντιλέγων οἴεται, δείξαιμι, οὐκ V 33ᵛ Ἀριστοτέλει ἐγκαλῶν ἄπαγε, ἀλλὰ τὸν συκοφάντην ἢ μὴ συνιέντα ἢ μὴ ὀρθῶς τὰ ἐκείνου ἐξηγούμενον ἐλέγχων. τὰ δὲ Πλάτωνος ἐπεὶ πᾶσι Λατίνοις σχεδὸν εἰσὶν ἄγνωστα τῷ τε μὴ μεταγεγραμμένα παρ' αὐτοῖς εἶναι τὰ πλείω καὶ κυριώτερα τῶν αὐτοῦ, τῷ τε καὶ εἴ τι μεταγέγραπται κἀκεῖνο, τοῦτο μὲν τῷ τῆς φωνῆς ἰδιώματι, τοῦτο δὲ τῇ τῶν ἑρμηνευσάντων ἀμαθίαν ἐπιπολαίως τε καὶ οὐκ ὀρθῶς εἰς τὴν Λατινικὴν μετενεχθῆναι φωνὴν καὶ διὰ ταῦτα σχεδόν τι πᾶσιν ἄγνωστον εἶναι τὴν ἐκείνου θεολογίαν, διὰ ταῦτα τοίνυν ἐκεῖνα τῶν αὐτοῦ ἐφ' ἑκάστου τῶν ἐγκλημάτων ἐκθήσομαι, οἷς τε ἡ αὐτοῦ δόξα σαφέστατα δείκνυται καὶ ἡ πρὸς τὰ ἡμέτερα γειτνίασίς τε καὶ ἡ ὡς οἷόν τε συμφωνία δηλοῦται καὶ αὐτὰ τἀναντία, ὧν ὁ κατήγορος

---

3 δοξάσαντα B V M διδάξαντα U | 4 τὰς U V καὶ B M | 84, 18 — 86, 11 Διὰ ταῦτ' οὖν — δείξων $U^{x}$ *in marg.* B V M *in textu, quo loco* U ποιήσομεν οὖν καὶ ἡμεῖς οὕτως ἀφέντες τοῖς περὶ ταῦτα σοφοῖς ἐξετάσαι, εἴ τι περὶ τῶν προειρημένων Ἀριστοτέλης καὶ εἰ ᾗ φησιν ὁ κατήγορος εἴρηκεν Πλάτων, εἰ μή που σαφηνείας ἕνεκα μικρὰ

de anima disseruisse, Platonem figmenta quaedam scripsisse, illum, quaecumque sunt, providentia dei regi gubernarique existimasse, hunc omnia fato ac necessitati subiecisse, eo nos huiusmodi verbis impulit, ut dum contrarium demonstrare nitimur, de Platone melius sentire quam de Aristotele videamur atque ita improbare Aristotelem, quod a mente nostra longe alienum est. Nos enim de Aristotele quoque semper honestissime loquimur, absitque a nobis tam prava atque insolens cogitatio, ut dum Platonem tuemur, detrahere illi velimus. Utrumque enim sapientissimum fuisse arbitramur et gratias utrique pro beneficiis, quae in genus humanum contulerunt, agendas existimamus, quod ipsius quoque Aristotelis auctoritate agendum videtur, quippe in iis libris, quos Metaphysica vocat de ea parte philosophiae perscriptos, quae est de rebus divinis, hunc in modum loquitur: »Non modo his agere gratias aequum est, qui nobis praecepta disciplinarum diligentissime tradiderunt, verum his etiam, qui de illis leviter ieiuneque disseruere. Nam hi quoque aliquid nobis utilitatis attulerunt, dum habitum nostrum exercitatione reddiderunt aptiorem. Enimvero si Timotheus non fuisset, non tantum modulorum haberemus; quodsi Phrynis non fuisset, ne Timotheus quidem claruisset. Eodem modo de iis existimandum est, qui veritatem indagare voluerunt. Accepimus enim ab aliquibus opiniones aliquas. Sed hi ut tales essent, illi causa fuerunt.«

In hac igitur philosophorum comparatione non alterum quidem lau- 2
dibus extollemus, alterum iurgiis ac contumeliis prosequemur, quod adversarius facit, — utrumque enim colimus ac veneramur — sed quaenam sit Aristotelis de iis, quas supra diximus, rebus opinio et utrum eorum, quae adversarius refert, aliquid ille scripserit vel quomodo scripserit, videant qui id possunt investigare. Permulti enim possunt, cum fere omnes nostrae aetatis sapientes Latini Peripateticae sectae aemuli sint et, quae Aristoteles scripsit, diligentissime indagaverint atque perceperint. Nos certe, ut Aristoteles de his rebus melius deteriusve aut cogitarit aut scripserit, minime dicemus — frustra enim in re notissima laboraremus — nec aliud quicquam adversus eum loquemur, praeterquam quod Christianum fuisse Aristotelem negabimus et aliquibus fortasse in locis explanationis gratia non eo modo, quo adversarius putat, intellegenda esse dicta Aristotelis ostendemus, quod non eo consilio faciemus, ut crimen obiiciamus Aristoteli, sed ut calumniatorem hunc vel minime intellegere Aristotelem vel pervertere illius sententias declaremus. Platonis vero opiniones summo studio conabimur exponere, quoniam omnibus fere Latinis ignotae sunt, partim quia

---

τούτων μνησθείημεν. τὰ Πλάτωνος ἐκθήσομεν μόνον καὶ οἷς γειτνιασίν τινα περὶ τὰ ἡμέτερα καὶ φαινομένην ἔχειν δοκεῖ συμφωνίαν, ταῦτα τοῖς τε λόγοις αὐτοῦ μάρτυσι τοῖς τε οὕτω λέγουσι διδασκάλοις χρώμενοι παραθήσομεν καὶ τὰ ἐπαγγελμένα συμπερανοῦμεν, ψευδόμενον κατ' αὐτοῦ τὸν ἐναντίον δεικνύντες.

---

11 Arist. Metaph. α 1. 993 b, 11—19.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

λέγει, βελτίστον πάντων τοῦτον ἀποδείξεως οἰόμενος τρόπον, εἰ τἀναντία, ὧν τις κατηγορεῖται, τοῖς αὐτοῦ ἐκείνου λόγοις μάρτυσι δειχθείη καὶ ψευδό-
B 26 μενος κατ' αὐτοῦ δειχθείη ὁ ἐναντίος. εἰ δέ πῃ καὶ τοὺς πατέρας καὶ διδασκάλους τῆς πίστεως τοῖς αὐτοῦ Πλάτωνος λόγοις ἐπιμαρτυροῦντας παραγάγοιμι, φεῦ τῆς ἀποδείξεως, οὐδεμία ἔτι ἀμφιβολία τοῖς μὴ πάνυ ἐριστικοῖς ἔσται λοιπή. οὕτω τοίνυν τὰ ἐπηγγελμένα τό γε νῦν εἶναι ἐπεξεργασάμενος συμπερανῶ τὰ προκείμενα, τὰς τοῦ κατηγόρου ὑπονοίας καὶ παρεξηγήσεις Ἀριστοτέλους καὶ οὓς ἐπὶ τούτοις λόγους τε καὶ ἐπιχειρήματα ἀναπλάττει, ἄλλο τε εἴ μοι καιρὸς καὶ σχολὴ γένοιτο, διακωδωνίσων καὶ τὸ σαθρὸν καὶ κίβδηλον αὐτοῦ σὺν θεῷ ἐξελέγξων καὶ τοῖς Ἀριστοτέλους αὐτοῦ ῥήμασι καὶ διανοίαις ἐναντίους τε καὶ ἀπᾴδοντας δείξων.

3 Πρὶν δὲ τοῦ περὶ τῶν προκειμένων ἅψασθαι λόγου, γνώτω πᾶς τις ὁ τοῖς λόγοις ἐντευξόμενος τούτοις οὐχ οὕτως ἡμᾶς συνηγορεῖν Πλάτωνι ὡς πάντα αὐτοῦ τὰ δόγματα πάντῃ ἐγκρίνοντας καὶ πάντῃ τοῖς ἡμετέροις συνῳδὰ οἰομένους, αὐτίκα τὸ περὶ προϋπάρξεως ψυχῶν, βαθμοῦ τε καὶ πλήθους θεοτήτων, οὐρανοῦ τε καὶ ἄστρων ἐμψυχότητος δόγμα καὶ ἄλλα τινὰ ὅμοια τούτοις
V 34 ἡμῶν γε ἀλλότρια καὶ τῇ ἐκκλησίᾳ πολέμια. τοὺς δὲ φιλοσόφους αὐτοὺς τί τε φρονοῖεν περὶ τῶν θείων, τί τε ἀλλήλων διαφέροιεν, ἐξετάζειν ἡμῖν ὁ σκοπός. εἴ γε καὶ Ἕλλην ἑκάτερος καὶ τὰ πλείω τῶν δογμάτων αὐτοῖν τῆς ἡμετέρας αὐλῆς εἰσὶ πόρρω, τί ὅμως ἅτερος τούτων βέλτιον, τί τῇ ἡμετέρᾳ θρησκείᾳ συνῳδότερον εἴρηκε, τοῦτ' ἐνταῦθα σκοπεῖσθαι προὐθέμεθα ἄνευ τῆς οἱασοῦν δυσφημίας τῶν φιλοσόφων. εἰ γὰρ καὶ ἔστιν, ἐν οἷς δόξαιμι προτιμᾶν Πλάτωνα, ἀλλ' οὐχ ἑκὼν ἐς ταύτην ὑπήχθην τὴν σύγκρισιν, ὑπὸ δὲ τοῦ κατηγόρου συνελαθείς, ὃς αὐτοὺς ἐτόλμησε σὺν μεγίστῃ Πλάτωνος δυσφημίᾳ παραβαλεῖν ἀλλήλοις. κατὰ γοῦν ἐμὴν δόξαν καὶ σοφίας ἕνεκεν παντοδαπῆς Ἀριστοτέλης μεγίστων ἄξιος ἐγκωμίων ἐστὶ καὶ οἷς κοινῇ τὸ ἀνθρώπινον γένος εὖ πεποίηκε τὰς ἐπιστήμας ἡμῖν παραδοὺς πάσης εὐφημίας τε καὶ εὐκλείας τυχεῖν δίκαιος παρὰ πάντων.

## Κεφ. δ' Τίνα φησὶ Πλάτων ἐν τῷ Παρμενίδῃ περὶ τῆς τῶν ὄντων ἁπάντων ἀρχῆς.

**4, 1** Περὶ τοίνυν τοῦ πρωτίστου τῶν ὄντων, μᾶλλον δὲ τῆς ὑπὲρ πάντα τὰ ὄντα καὶ πάντων αὐτῶν πρωτίστης ἀρχῆς, ἄκουσον, ἅ φησι Πλάτων ἐν Παρμενίδῃ. ἐροῦμεν δὲ αὐτοῦ τὰ συμπεράσματα μόνον· »τὸ ἕν, φησίν, — οὕτω δὲ καλεῖ τὴν ὑπερούσιον θεότητα — οὐ πολλά ἐστιν· οὔτε μέρος οὔτε ὅλον οὔτε ἀρχὴν οὔτε τελευτὴν οὔτε μέσον ἔχον. ἔτι δὲ ἄπειρον καὶ ἀσχημάτιστον, ἐν οὐδενὶ τόπῳ ὄν. μήτε ἱστάμενον, μήτε τινὰ ἢ τὴν καταφορὰν ἢ τὴν κατ' ἀλλοίωσιν κίνησιν κινούμενον, οὐθ' ὅλως γινόμενον. οὐχ ἑαυτῷ, οὐχ ἑτέρῳ οὔτε ταὐτὸν οὔτε ἕτερον οὔτε ὅμοιον οὔτε ἀνόμοιον οὔτε ἴσον
U 42ᵛ οὔτε ἄνισον οὔτε πρεσβύτερον οὔτε νεώτερον. οὔτ' ἐν χρόνῳ τινὶ ὄν, ἀλλὰ πάντῃ ἄχρονον. διὸ οὔτε ποτὲ γέγονεν οὔτε γίνεται οὔτ' ἦν ποτε οὔτε νῦν γέγονεν οὔτε γίγνεται οὔτ' ἐστὶν οὔτ' ἔπειτα γενήσεται, οὔτε γενη-

Ε.Υ.Σ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

libri eius in Romanam conversi linguam non habentur, partim quod, si qui habentur, interpretum vitio minus recte sententiam sui exprimunt auctoris. Merito itaque huiusmodi praesertim de rebus divinis opiniones explicandae sunt, ut, quam vicinae et quasi familiares sint nostrae religioni, etiam Latini possint intellegere, tum e contrario, quam falsa sint, quae ab adversario obiiciuntur, manifestum sit. Haec enim praecipua demonstrationis ratio erit, si contrarium eius, quod obiicit adversarius, ipsius Platonis verbis ostendam. Quodsi ad haec doctorum nostrae religionis testimonium adducam et sententias Platonis sacrosancto ore exponi probarique demonstrabo, magis profecto rei veritas elucescet nullique dubium erit Platonem, non ut adversarius fingit, sed ut nos ostendimus, cogitasse atque scripsisse. Nam adversarii ineptas expositiones et argumenta levissima suo loco post haec refellam, quantumque ab Aristotelis opinione et verbis aberrent, explicabo.

Sed priusquam ad rem veniam, illud aperte profiteor non ita me 3
Platonis opinionem tueri, quasi ex omni parte probandum et cum doctrina nostra comparandum existimem. Neque enim illam animarum praeexistentiam probo nec numerum deorum, non caeli ac siderum animas, non multa alia, quibus gentiles ab ecclesia damnantur; verum quid duo philosophi senserint, quod inter eos discrimen sit, exponere decrevi. Etsi enim gentilis uterque est et a fide nostra alienus, tamen uter eorum melius senserit et religioni nostrae convenientius, operae pretium erit declarare, praesertim cum nullam Aristoteli iniuriam illaturus sim, si praeferre ei Platonem videbor, siquidem non ultro ad hanc comparationem accessi, sed iniquitate adversarii coactus, qui eos adeo turpiter et ignominiose conferre invicem non erubuit. Nam mea quidem sententia Aristoteles laudandus est et doctrina, qua plurimum claruit, et studio, quo bene de hominum genere meritus est.

Cap. IV. Quid in Parmenide Plato dicat de principio omnium entium.

Quid igitur de primo ente vel potius de primo omnium entium et 4, 1
supra omnia entia posito principio Plato in Parmenide scripserit, videamus. Ponam autem dumtaxat capita rerum. »Unum, inquit, ipsum — sic enim, sic supersubstantialem dei divinitatem appellat — non multa est; nec partem nec totum nec principium nec finem nec medium habet; infinitum informeque est, nullo loco circumscribitur; nusquam permanet; nullo sive loci sive alterationis motu movetur, nec ullo modo fit; nec sibi alterive idem aut diversum est, nec simile aut dissimile, nec aequale aut inaequale, nec antiquum aut novum; nec in tempore ullo, sed omnino sine tempore; quam ob rem nec generatum unquam est nec generatur nec erat unquam

12/28 Πρὶν δὲ — παρὰ πάντων U B *om.* B² *in marg.* V M Z *in textu* | 31 Περὶ τοίνυν V] *item* B² *supra rasura,* αὐτίκα περὶ U

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

θήσεται οὔτε ἔσται οὔτε οὐσίας μετέχει. τὸ γὰρ ἦν καὶ τὸ γέγονε καὶ τὸ ἐγίνετο χρόνον τὸν ποτὲ γεγονότα σημαίνει. τὸ δὲ ἔσται καὶ γενήσεται καὶ γενηθήσεται τὸν μετέπειτα. τὸ δὲ ἔστι καὶ γίνεται τὸν παρόντα. τὸ δὲ V 34v μηδαμῇ χρόνου μηδὲν μετέχον οὔτ' ἦν οὔτ' ἔστιν οὔτ' ἔσται. οὔτε δὲ ὄνομα ἐστὶν αὐτῷ οὐδὲ λόγος οὐδέ τις ἐπιστήμη οὐδ' αἴσθησις οὐδὲ δόξα. οὐδ' ὀνομάζεται ἄρα οὐδὲ λέγεται οὐδὲ δοξάζεται οὐδὲ γινώσκεται οὐδέ τι τῶν ὄντων αὐτοῦ αἰσθάνεται.« ταῦτα μὲν ἐν Παρμενίδῃ ὡς ἐκ πολλῶν ὀλίγα. ἔν τε τοῖς ἄλλοις αὐτοῦ διαλόγοις Φαίδρῳ, Φαίδωνι, Φιλήβῳ, B 26v Τιμαίῳ, Σοφιστῇ, ἐν Νόμοις, ἐν Πολιτείαις, ἐν Ἐπιστολαῖς, ἁπλῶς ὅπου γε περὶ τούτων ἐμνήσθη, ἵνα μὴ μακρὸν λόγον συντείνω, ταὐτὰ ἑαυτῷ περὶ τῶν αὐτῶν φησιν, ἅτε δὴ ἐπιστήμων ἀνὴρ καὶ σοφὸς καὶ σύμφωνος ἐν πᾶσιν ὢν ἑαυτῷ. ἐκεῖ γὰρ τὴν πρωτίστην ἀρχὴν ὑπὸ Πλάτωνος ἕν, ἐκεῖ τῶν ὅλων ὑποστάτην, ἐκεῖ τἀγαθόν, ἐκεῖ πάντων βασιλέα καὶ δημιουργὸν λαμπρῶς ἀνυμνούμενον εὑρήσεις. καὶ πρόκεινται ἕτοιμα τὰ βιβλία τοῖς U 43 βουλομένοις ἀναγινώσκειν, εἰς ἃ τοὺς φιλοπόνους παραπέμπομεν. οὕτω δὲ ἡ τοιαύτη αὐτοῦ θεολογία τοῖς ἡμετέροις πατράσι καὶ διδασκάλοις ἤρεσεν, ὡς μὴ αἰσχυνθῆναι ἐν τοῖς ἑαυτῶν συγγράμμασι περὶ θεοῦ ποιουμένους τὸν λόγον καὶ αὐτοῖς ῥήμασι τοῖς Πλατωνικοῖς, οὐ μόνον τῇ διανοίᾳ χρήσασθαι.

2 Αὐτίκα ὁ μακάριος Διονύσιος ὁ Ἀρεοπαγίτης, ὁ πρώτιστός τε καὶ ἄριστος τῶν μετ' αὐτὸν ἁπάντων τῆς Χριστιανικῆς θεολογίας διδασκάλων γενομένων — πρὸ αὐτοῦ γὰρ οὐδεὶς πλὴν Παύλου τοῦ μεγάλου καὶ Ἱεροθέου Ἀθηνῶν, οἷς καὶ ἐμαθήτευσεν, ἄλλος ὑπῆρξεν — ἐν τῷ περὶ θείων ὀνομάτων· »ὑπέρκειται, φησί, τῶν οὐσιῶν ἡ ὑπερούσιος ἀπειρία καὶ τῶν νοῶν ἡ ὑπὲρ νοῦν ἑνότης, καὶ πάσαις διανοίαις ἀδιανόητόν ἐστι τὸ ὑπὲρ διάνοιαν ἕν, ἄρρητόν τε λόγῳ παντὶ τὸ ὑπὲρ λόγον ἀγαθόν«. καὶ πάλιν· »ἑνὰς ἑνοποιὸς ἁπάσης ἑνάδος καὶ ὑπερούσιος οὐσία καὶ νοῦς ἀνόητος καὶ λόγος ἄρρητος, ἀλογία καὶ ἀνοησία καὶ ἀνωνυμία, κατὰ μηδὲν τῶν ὄντων οὖσα. καὶ αἴτιον μὲν τοῦ εἶναι πᾶσιν· αὐτὸ δὲ μὴ ὄν, ὡς πάσης οὐσίας ἐπέκεινα«. καὶ αὖ· »οὔτε αἴσθησις αὐτῆς ἐστιν οὔτε φαντασία οὔτε δόξα οὔτε ὄνομα οὔτε λόγος οὔτε ἐπαφὴ οὔτε ἐπιστήμη«. καὶ μετά τινα· »τὴν μὲν οὖν ὑπερουσιότητα τὴν θεαρχικήν, ὅτι ποτέ ἐστιν ἡ τῆς ὑπεραγαθότητος ὑπερύπαρξις, V 35 οὔτε ὡς λόγον ἢ δύναμιν οὔτε ὡς νοῦν ἢ ζωὴν ἢ οὐσίαν ὑπομνῆσαι θεμιτὸν οὐδενὶ τῶν ὅσοι τῆς ὑπὲρ πᾶσαν ἀλήθειαν ἀληθείας εἰσὶν ἐρασταί· ἀλλ' ὡς U 43v πάσης ἕξεως, κινήσεως, ζωῆς, φαντασίας, δόξης, ὀνόματος, λόγου, διανοίας, νοήσεως, οὐσίας, στάσεως, ἱδρύσεως, ἑνώσεως, πέρατος, ἀπειρίας, ἁπάντων B 27 ὅσα ἐστίν, ὑπεροχικῶς ἀφῃρημένην.«

3 Ταῦτα, πρὸς θεοῦ, οὐκ αὐτοῖς ῥήμασιν ἐκ τῶν Πλάτωνος εἴληπται; τί δὲ ὁ θεολόγος Γρηγόριος ὁ καθ' ὑπεροχὴν θεολόγος παρὰ τοῖς ἡμετέροις

9 ἁπλῶς M *add.* γε | 27 ἀνοησία B V ἀνοσία M

23 Dionys. Areop. De div. nom. I. 1. (Migne P. gr. 3, 588 B.) | 29 cf. Plat. Parm. 137 e — 142 a. | 29/36 Dionys. Areop. De div. nom. I. 5. (Migne P. gr. 3, 593 B D).

Ε.Υ.Δ. τῆς Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

nec modo factum est nec fit nec est nec post fiet nec generabitur nec erit nec substantiae particeps est. Ista enim verba: erat, fiebat, generatum est praeteritum tempus significant; erit autem, fiet et generabitur futurum; est vero et generatur et fit praesens. Quod autem nulli subiacet tempori, id nec erat nec est nec erit. Ex quo fiet, ut nullum etiam nomen ei inditum sit, nulla definitio detur, nulla scientia aut sensus aut opinio eius habeatur. Itaque nec nominatur nec dicitur nec cogitatur nec cognoscitur nec ab aliquo ente sentitur.« Haec Platonis verba sunt in Parmenide, quamvis pauca ex multis collegi. In aliis vero operibus suis ut in Phaedro, Phaedone, Philebo, Timaeo, Sophista, Legibus, Re publica, Epistulis, omnibus denique locis, in quibus de rebus divinis mentionem facit, semper sui similis est eademque de iisdem dicit, quod viri docti officium et verae atque inconcussae rationis testimonium est. Ubique enim primum omnium principium Plato unum appellat, ubique opificem et creatorem universi, ubique summum bonum, regem et conditorem omnium nominat. In promptu sunt Graeci eius libri, quos qui volet legere poterit et ex linguae illius fonte haurire, quae nos interpretamur, ut possumus. Adeo autem haec Platonis theologia sanctissimis fidei nostrae doctoribus grata fuit, ut quotiescumque de deo aliquid scripserunt, non modo sententiis eius, sed etiam verbis uti voluerint.

Nam vir sanctissimus Dionysius Areopagita, qui primus et summus 2
Christianae theologiae auctor fuit neminemque ante se habuit divinarum rerum scriptorem praeter apostolum Paulum et Hierotheum Athenarum pontificem, quibus ipse praeceptoribus usus est, in libro, quem de divinis nominibus edidit, ita scripsit: »Manet quidem supra omnes substantias supersubstantialis infinitudo et supra mentes supermentalis unitas, et omnibus intellegentiis inintellegibile est, quod omnem intellegentiam superat unum et ineffabile, quod omnem dicendi rationem excedit, bonum.« Et rursus: »Unitas unifica omnis unitatis supersubstantialis substantia, mens inintellegibilis, ratio ineffabilis, irrationabilitas, inintellegibilitas, innominabilitas est, nullius entis similitudinem gerit et causa est entium omnium, ipsum autem est non ens, utpote quod ultra omnem substantiam est.« Item: »Non sensus eius est, non imaginatio, non opinio, non ratio, non scientia, non nomen.« Et paulo post: »Supersubstantiale divinum principium, quod sit superessentia superbonitatis, minime intellegi potest. Nec enim ut rationem aut virtutem, nec ut mentem aut vitam aut substantiam memorare fas est cuiquam eorum, qui veritatis omnem veritatem superantis amore tenentur; sed ut ab omni habitu, vita, magnitudine, opinione, nomine, ratione, mente, intellegentia, substantia, motu, statu, loco, unione, fine, infinitudine, omnibus denique rebus superlative abstractum perinde intellegendum est.«

Haec, per immortalem deum, nonne a Platone per eadem fere verba 3
Dionysius sumpsit? Quid Gregorium memorem, qui ob excellentiam huius disciplinae theologi cognomentum apud Graecos adeptus est? Hic in ser-

Ε.Υ.ΑΠΗ Κ.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006